www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 25 MARTIE

# PARACLISUL BUNEI VESTIRI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών εις την Υπεραγία Θεοτόκο του Ακάθιστου 'Υμνου

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Στίχος β’. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτοῦς.
Στίχος γ’. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Κατόπιν τά Τροπάρια.

Ἦχος δ΄. Ο ὑψωθεὶς ἐν τῷ Σταυρῷ
Τοῦς προσδραμόντας τῆ θερμῆ Σου πρεσβεῖα καί προσκυνοῦντας ἱεράν Σου εἰκόνα, Μῆτερ τῶν χαιρετισμῶν, νῦν πάσης ἐλευθέρωσον ἀπειλῆς καί κινδύνου καί παθών καί θλίψεων καί δεινῶν νοσημάτων καί ἐν εἰρήνη φύλαττε ἡμᾶς ὡς διεφύλαξας τήν Πόλιν, Ἄχραντε.
Δόξα. Καὶ νῦν.
Οὐ σιωπήσομέν ποτέ, Θεοτόκε, τάς δυναστείας σου

λαλεῖν οἵ ἀνάξιοι είμή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δε διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Ούκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμὸς Ν΄(50)

Και ὁ Κανὼν,

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Τῆ Σῇ προστασία, Μῆτερ Θεοῦ, τούς δούλους πιστούς Σου πάσης βλάβης εκλύτρωνε καί ῥυσέ ποικίλων κινδύνων, ὡς τοῦ Κυρίου Μητέρα Πανάχραντε.

Τῆς Σής βοηθείας τῆς μυστικῆς καί τῆς χάριτος Σοῦ τήν εἰκόνα Σοῦ τοῖς πιστοῖς δοτῆρα ἐχαρίσω Θεοτόκε τοῦ Ἀκαθίστου Μητέρα Πανάχραντε.

Ὡς πάλαι ἐρύσω παντός κακοῦ, ἅπαντες ἐν Πόλει προστασίᾳ Σοῦ ἰσχυρά, οὕτω καί νῦν παντοίων κινδύνων ῥυσέ τούς σπεύδοντας Μῆτερ τῆ εἰκόνι Σου.

Πᾶσι τοῖς αἰτοῦσι Σου τήν σεπτήν βοήθειαν Κόρη ἡμῖν δίδου τάς δωρεᾶς καί σῷζε κινδύνων ποικίλων, Μῆτερ ἡμῶν τοῦ Ἀκαθίστου Πανάχραντε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος

Ἐξ ἐχθρῶν καί δολίων τῶν ἀπειλούντων τε Πόλιν τό πάλαι Παρθένε ἐρύσω δούλους Σου, ὅτι ἐπήκουσας

τήν δέησιν τοῦ Σεργίου καί πάντων χριστιανῶν τῶν αἰτουμένων Σε.
Τοῖς αἰτοῦσιν τήν χάριν, Μῆτερ Θεοῦ βράβευε.
Δέσποινα τοῦ Ἀκαθίστου, ὡς πολυεύσπλαχνος πρός Σε γάρ σπεύδουσιν καί οὐκ ἐλλείπουσι πάντες τό Σεπτόν Σου ὄνομα ἐπικαλούμενοι.

Ποταμοί χάριτος Σου ὡς ἀληθῶς βλύζουσιν ἐκ τῆς Σῆς Ἁγίας Εἰκόνος, ὦ Μῆτερ Δέσποινα, πάντας δροσίζοντες καί ἀναψύχοντες πάντας τούς καταιόμενους πυρί τῶν θλίψεων.

Τοῦ ἐχθροῦ τάς παγίδας τάς καθ' ἡμῶν σύντριψον Μῆτερ μᾶς τοῦ Ἀκαθίστου, ττ] ἐπισκέψει Σου καί ττι Σή χάριτι, ἐν εἰρήνη τοῦ Υἱοῦ Σου τήν ζωήν κυβέρνησον ἡμῶν δεόμεθα

Διάσωσον, Μῆτερ τοῦ Ἀκαθίστου Θεογεννήτωρ ἐκ παντοίων κινδύνων καί περιστάσεων τούς ἐπικαλουμένους Σήν προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενεία Πανύμνητε Θεοτόκε ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν καί ἴασε τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα Ἦχος Β'. Πρεσβεία θερμῆ.
Πρεσβείαν τήν Σήν ὡς φρούριον ἀπόρθητον κατέχοντε; νῦν ἀεί ἐλευθερούμεθα τοῦ δολίου ἐχθροῦ καί πολεμήτορος καί εὐφροσύνη καί χάριτος Σής πληρούμεθα μόνη Παντευλόγητε.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε
Τῶν Ἀβάρων τήν ἔφοδον ὡς τό πάλαι ἀπέκρουσας Δέσποινα  νῦν ἐκ τῶν πιστῶν Σου ἀποδίωξον πάσας τάς ἐφόδους τοῦ ἀλάστορος.
Νῦν τῶν πόνων θεράπευσον τῶν κατά ψυχήν καί σῶμα Πανάχραντε, Μητρική Σου ἀγαθότητι τούς τά μεγαλεία Σου δοξάζοντας.

Ὡς τῆς νόσου τήν κάμινον ἐσβυσας τοῦ δούλου Σου τοῦ Βουλγάρεως, μητρική Σου ἀγαθότητι σβέσον τάς ὁρμάς παθών τῶν δούλων Σου.

Πάσης βλάβης διάσῳζε πάσης τοῦ ἐχθροῦ παγίδος καί επιθέσεό)ς Θεοτόκε ἀειπάρθενε, τούς τά μεγαλεία Σου δοξάζοντας.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς
Ἅπαντες πιστοί προσιοῦσιν τῇ εἰκόνι Σου καί λαμβάνουν τάς αἰτήσεις συμπαθώς, Σύ γάρ πάντας ἐλεεῖς ὡς πολυεύσπλαχνος
Θεῖον θησαυρόν, ἡ Μονή Διονυσίου νῦν τήν Εἰκόνα Σου κατέχει τήν σεπτήν καί ἀρύεται τάς δωρεάς Σής χάριτος.

Ὠδὴ στ΄.Ἤην δέησιν ἐκχεῶ
Ἀπείρανδρε Μαριάμ Πανάχραντε, ὡς διέφυγας τό πάλαι τάς παγίδας τοῦ πειρατοῦ τοῦ δολίου, ὦ Κόρη, καί εἰς ναόν τῆς Μονῆς Σου ἐπέτρεψας, οὕτω καί νῦν πάντας ἡμᾶς καθοδήγησον καί ῥυσέ τῶν θλίψεων.

Τῇ Σή εἰκόνι πιστῶς προσδραμόντες οἱ πιστοί μοναχοί Σου Θεοτόκε. ἀπό βάθους καρδίας βοῶσιν ἀσθενειῶν καί ποικίλων κακώσεων ἐλεύθερον καί αεινή τῶν πιστῶν Σου τόν βίον διατήρησον.

Ἀσθενειῶν Σε ἰατρόν ἐγνωκότες καί χαράς τήν πηγήν, ὦ Μητέρα, τῶν θλιβομένων τήν παρηγορίαν κινδυνευόντων τε πάντων διάσωσιν Πανάχραντε Μῆτερ Θεοῦ, πᾶς πιστός Σοι καταφεύγει καί σῴζεται.

Διάσωσον ἀπό κινδύνων τούς δούλους σου, θεοτόκε, ὅτι πάντες μετά θεόν εἰς σέ καταφεύγομεν, ὧς ἄρρηκτον τεῖχος καί προστασίαν.

Ἄχραντε, ἥ διά λόγου τόν Λόγον άνερμηνεύτως ἐπ’ ἐσχατων τῶν ἡμερων τεκοῦσα, δυσώπησον, ὧς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου
Ἐπιστασία Σου Κόρη προστρέχοντες ἐλευθερούμεθα πάσης κακώσεως  Διό Σου τήν χάριν κηρύττομεν Μῆτερ ἡμῶν Ἀκαθίστου Θαυματουργέ Σύ γάρ ἡμῶν ἡ βοήθεια.

Προκείμενον
Μνησθήσομαι τοῦ ὀνόματος σου ἔν πάσιι γενεά καί γενεά.
στίχ. Ἄκουσον, θύγατερ, καί ϊδε καί κλῖνον τό οὖς σου, καί ἐπιλαθοῦ τοῦ λαοῦ σου καί τοῦ οἴκου τοῦ

πατρός σου καί ἐπιθυμήσει ὅ Βασιλεύς τόν κάλλους σου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.(Κεφ. α΄ 39-49, 56)
Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ ἐπορεύθη εἰς τήν ὀρεινήν μετά σπονδῆς, εἴς πόλιν Ἰούδα καί εἰσῆλθεν εἴς τόν οἶκον Ζαχαρίου, καί ἠσπάσατο τήν Ελισάβετ. Καί ἐγένετοῳς ἤκουσεν ἤ Ελισάβετ τόν ἀσπασμόν τῆς Μαρίας,ἐσκίρτηαε τό βρέφος ἔν τῆ κοιλία αὑτῆς καί ἐπλήσθη Πνεύματος Ἀγίου ἤ Ελισάβετ, καί ἀνεφώνησε φωνή μεγάλη, καί εἶπεν Εὐλογημένη σύ ἔν γυναιξί καί εὐλογημένος ὅ καρπός τῆς κοιλίας σου. Καί πόθεν μοι τοῦτο, ϊνα ἔλθῃ ἤ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδού γάρ, ῶ̓ς ἐγένετο ἤ φωνή τοῦ ἀσπασμοῦ σου εἰς τό ῶ̓τα μου, ἐσκίρτησε τό βρέφος ἔν ἀγαλλιάσει ἔν τῆ κοιλία μου. Καί μακαρία ἤ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὑτῇ παρά Κυρίου. Καί εἶπε Μαριάμ Μεγαλύνει ἤ ψυχή μου τόν Κύριον, καί ἠγαλλίασε τό πνεῦμα μου ἐπί τῷ Θεῶ τῷ Σωτῆρι μου. “Ὅτι ἐπέβλεψεν ἐπί τήν ταηείνωσιν τῆς δούλης αὐτοῦ’ ἰδού γάρ ἀπό τοῦ νῦν μακαριοῦσι με πάσαι αἵ γενεαί. Ὅτι ἐποίησε μοι μεγαλεία ὅ Δυνατός καί Ἀγίου τό ὄνομα αὐτοῦ. Ἔμεινε δέ Μαριάμ σύν αὐτή ὡσεί μήνας τρεῖς, καί ὑπέστρεψεν εἴς τόν οἶκον αὐτής.
Δοξά.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον. ἐξάλειψον τά πλήθη τῶν ἐμών ἐγκλημάτων.

Καί νῦν...
Ταῖς τῆς Παναχράντου πρεσβείαις, Ἐλεῆμον.
ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στιχ. Ἐλεήμον, Ἐλέησόν με ὁ Θεὸς...
Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Σκέπην καί βοήθειαν, ἰσχυράν προστασίαν Δέσποινα Πανάχραντε, ἐν τῷ βίῳ Σε Κόρη ἔχοντες ἐκ παντοίων θλίψεων καί ἀσθενημάτων καί παγίδων τοῦ παγκακίστου καί πάσης. Δέσποινα, ἄλλης συμφοράς τε καί μάστιγος Σή χάριτι λυτρούμεθα, τῆ Σή ἀρωγή καί χρηστότητι ὅθεν μή ελείπεις παρέχειν Σήν βοήθειαν πιστοῖς τοῖς πρός τήν Σήν ἀγαθότητα, Μῆτερ, ἀτενίζουσιν.

ᾨδή ζ'.Οι ἐκ τῆς Ἰουδαίας.
Τήν ὑγείαν χορήγει καί ἐν πάσει βοήθειαν, Μῆτερ Ἄχραντε, τοῖς πίστει ἀδιστάκτῳ τῆ θεία Σου εἰκόνι προσκυνοῦσιν καί ψάλλουσιν: Ο τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἰ.
Ω Πανάχραντε Μῆτερ, τῆς ψυχῆς τήν ὑγείαν ὡς καί τοῦ σώματος χορήγει χάριτι Σου τοῖς πίστει ἀδιστάκτῳ τῆ θεία Σου εἰκόνι προσιοῦσι καί ψάλλουσι ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἰ.

Τῶν κακούργων ἀνθρώπων ὡς ματαίωσας πάλαι βουλάς δολίους τῶν, νῦν πᾶσαν ἀπειλήν τε ἐχθρῶν καί κακουργίαν ματαίωσον Ἄχραντε, Δέσποινα Μῆτερ Θεοῦ, ἡ Σκέπη τῶν πιστῶν Σου.

Πειρατῶν ἀλλοφύλων ὡς διέφυγας πάλαι ὦ Μῆτερ Ἄχραντε, οὕτω καί νῦν πιστούς διάσωσον κακίας τοῦ Παναλάστορος ἵνα ὑμνοῦν Σε ἀεί Μῆτερ τοῦ Ἀκαθίστου.

Ὠδή η΄. Τόν Βασιλέα.
Ὡς ἐρυσθῇς τῶν χειρῶν τῶν κακούργων καί ἐκπληρώσας τοῦ μύρου Σου τό σκάφος ῥυσόν με καί σώδε καί χάριτος Σου γέμει.
Τῇ χάριτι Σου, ὦ Μῆτερ τοῦ Ἀκαθίστου παραμύθησον ψυχῆς μου ἀλγηδόνας ἵνα Σε δοξάζω τήν Κεχαριτωμένη.

Σε σωτηρίαν, ἐν πολέμοις, ὦ Μῆτερ, αποκτήσαντες ἐν τῷ παρόντι βίῳ τάς τῆς ἀρωγῆς Σου κηρύττομεν ἐκφάνσεις

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Μεγάλων δωρημάτων παρά Σου τρυφῶντες Μῆτερ ἡμῶν τοῦ Ἀκαθίστου Πανάχραντε, τήν πρός ἡμᾶς Σου βοήθειαν μεγαλύνομεν.
Πάντες οἱ πιστοί Σου τῷ μύρω Σου χρισθέντες απολαμβάνουν ὑγείαν ψυχῆς καί σώματος, Μῆτερ ἡμῶν τοῦ Ἀκαθίστου καί Σε δοξάζουσιν.

Ὑμνοῦμεν τῆς πολλῆς Σου πρός ἡμᾶς εὐνοίας Μῆτερ ἡμῶν τοῦ Ἀκαθίστου Πανάχραντε, ὅτι ἡμᾶς περισκέπεις καί σῴζεις πάντοτε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Μεγαλυνάρια,

Τήν Παντοβασίλισσα Μαριάμ ἥτις προστατεύει πάντας δούλους αὐτῆς πιστούς καί τούς διασῴζει πάσης ἐχθροῦ μανίας, τήν μόνην Θεοτόκο ὕμνοις τιμήσωμεν.

Χάριτι Σου θεία Μῆτερ Σεπτή ὄντως χαριτωθῇ ἡ Εἰκών Σου ἡ θαυμαστή, μύρον ἀναβλύζει καί βλύζει τάς ἰάσεις τοῖς πίστει προσκυνοῦσιν αὐτήν, Πανάχραντε.

Χαῖρε Προστασία ἡ Φοβερά, ἡ Ἀγγέλων τάξεις διατάζουσα ἐν παντί, χαῖρε τῶν πιστῶν Σου ἀσπίδα τούς καί Σκέπη, Μῆτερ τοῦ Ἀκαθίστου Κόρη Θεόνυμφε.

Πάσαι τῶν Ἀγγέλων Πάσαι τῶν ῎Αγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, ῎Αποστόλων ἥ δωδεκάς, οἱ ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἲς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ

ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ Ἀπολυτίκιον

Εἰκόνα Σου Ἁγίαν τοῦ Ἀκαθίστου Μητέρα μᾶς, νῦν πανευλαβῶς προσκυνοῦντες, δοξάζομεν Σε Κόρη. Ἐπέστη γάρ σκέπη πρός ἡμᾶς καί βρύει τάς ἰάσεις συμπαθῶς ἐκ παντοίων κινδύνων καί θλίψεων ἡμᾶς ἀπαλλάττουσα εὐχαρίστως βοῶμεν, Δόξα τῷ Σε δοξάσαντι Θεῶ, δόξα τῷ Σε μεγαλύναντι, δόξα τῷ διασώσαντι ἡμᾶς διά τοῦ τόκου Σου.

Ἐκτενής καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τά ἑξῆς

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς τήν θείαν καί σεπτήν κατασπαζομένους εἰκόνα, ἥνπερ ὀνομάζομεν τοῦ Ἀκαθίστου νῦν,

πειρασμῶν ἐλευθέρωσον καί νόσων ποικίλων καί πλήρωσον αἰτήματα τά δίκαια αὐτῶν, τῇ Σή πρός Θεόν παρρησία Παρθένε ἳνα εὐχαρίστως Σε γεραίρουσιν.
Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, είς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
Ἀμήν.

